Σεισμοί. Έδαφος. Ρήγιον
επί Ιουστινιανού Αυτοκρ. 550 μ. Χ.

α΄ Τῷ δὲ αὐτῷ ἔτει μηνὶ Ὀκτωβρίῳ, ἡμέρᾳ ς΄. ἰν- Θεοφ. Χρονογρ.
δικτιῶνι ς΄. γέγονε σεισμὸς μέγας διαφαίνοντος εκδ. Βον. σ. 156
τοῦ Σαββάτου, καὶ τῷ Δεκεμβρίῳ μηνὶ ιδ΄. γέγο-
νεν ἕτερος σεισμὸς φοβερὸς πάνυ, ὥστε πεσεῖν
τὰ δύο τείχη Κωνσταντινουπόλεως. . . . . . .
κατέπεσον δὲ . . . . . καὶ τὰ ἐπίλοιπα τοῦ ἐμβό-
λου καὶ ὁ ἅγιος Σαμψὼν καὶ ἡ ἁγία Θεοτόκος
τῶν Πετράδα, καὶ τοῦ ἁγίου Βικεντίου, . . . .
. . . . ἀπὸ τῆς Χρυσῆς πόρτης ἕως τοῦ Ῥηγίου.
καὶ γὰρ ὁ τόπος, ἡ προάστειον, ὃ καὶ ἔπεσεν ἀπὸ
τῆς φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ, τὸ δὲ Ῥήγιον
ὅλως ἔπεσεν ἕως ἐδάφους, ὥστε μὴ γνωρίζεσθαι
αὐτό. ἔπεσε δὲ ἡ ἐκκλησία τοῦ ἁγίου Στρατο-
νίκου καὶ Καλλινίκου ἕως ἐδάφους αἱ οὖσαι ἐν τῷ
Ῥηγίῳ."

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ῥήγιον. Ἕβδομον. Σεισμοί
## ἐπὶ Ἰουστινιανοῦ αὐτοκράτορος. (527-565 μ.Χ)



« Μηνὶ Δεκεμβρίῳ ἰνδικτιῶνος ϛ' γέγονεν ἄλλος σει- Μαλαλα
σμὸς ἐν μεσονυκτίῳ φοβερὸς πάνυ, ὥστε παθεῖν τὰ δύ- Χρονογρ.
ο τείχη Κωνσταντινουπόλεως, τό τε παλαιὸν τὸ γενόμενον ὑ- Λόγος ΙΗ
πὸ Κωνσταντίνου καὶ τὸ κτισθὲν ὑπὸ Θεοδοσίου, καὶ ἐκκλη- σ. 488-9.
σιῶν δὲ μέρη κατέπεσον, ἐξαιρέτως δὲ τὰ ἔσωθεν τοῦ
Ἑβδόμου· καὶ ὁ κίων δὲ ὢν ἐν Σεκουνδιαναῖς σὺν τῇ
στήλῃ κατηνέχθη· τοῦ δὲ Ῥηγίου πάνυ πολλὰ κατέπεσαν.
πολλοὶ ἀπέθανον ἐν τοῖς συμπτώμασι· τινὲς δὲ καὶ μεθ'
ἡμέρας ἐκ τῶν καταληφθέντων ὑπὸ τῶν συμπτωμάτων
διεσώθησαν· ἐν αὐτῷ δὲ τῷ φόβῳ καὶ ἐν ταῖς ἔξω πόλε-
σι πολλοὶ τόποι πεπτώκασιν. ἡ δὲ αὐτὴ φοβερὰ ἀπει-
λὴ ἐπεκράτησεν ἐπὶ ἡμέρας δέκα· καὶ πρὸς ὀλίγον
κατενύγησαν οἱ ἄνθρωποι λιταῖς καὶ δεήσεσι προσκαρ-
τεροῦντες ἐν τῇ ἐκκλησίᾳ. ὁ δὲ αὐτὸς βασιλεὺς Ἰουστινι-
ανὸς οὐκ ἐφόρεσε στέμμα ἐπὶ ἡμέρας τριάκοντα. »

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ